ter hæc item cuncta mouens, tanquam omnium primum.

CAPVT V.

Cvm autem quædam ſeparabilia, quædam inſeparabilia ſint, illa ſunt ſubſtantiæ: propter quod hæc, omnium cauſæ ſunt: ſiquidem abſque ſubſtantiis paſſiones, & motus non ſunt. Deinde hæc erunt, anima fortaſſis, & corpus, aut intellectus, appetitus, & corpus. Item alio modo, analogicè principia ſunt eadem, vt actus, & potentia: verùm hæc etiam in aliis alia, & alio modo ſunt. In quibuſdam enim, idem quandoque actu, quandoque potentia eſt: vt vinum, aut caro, aut homo (at hæc, in præditas cauſas cadunt. Actus nanque eſt ſpecies, ſi ſeparabilis ſit) item quod ex ambobus. Priuatio etiam, vt tenebræ, aut ægrotans. Potentia autem materia. Hoc nanque eſt, quod ambo fieri poteſt. Aliter autem actu, potentiáque differunt, quorum nō eadem materia eſt, quorum non eadem ſpecies, ſed diuerſa eſt: veluti hominis cauſa, elementa, ignis, & terra, vt materia, & propria ſpecies: & ſi quid aliud extrinſecus eſt, vt pater: & præter hæc, Sol, & obliquus circulus, quæ nec materia, nec ſpecies, nec priuatio, nec eiuſdem ſpeciei ſunt, verùm mouentia. Præterea videre oportet, quòd quædam eſt vniuerſaliter dicere, quædam minimè. Omniū itaque prima principia, quod actu, primum, & aliud, quod potentia. At illa, quæ vniuerſalia dicimus, non ſunt. Singulare nanque, principium eorum eſt, quæ ſingularia ſunt. Homo enim hominis vniuerſalis, profectò nullus eſt: verùm Peleus, Achillis: tui autem, pater. Et hoc quidem ſit B: ipſius B A: & ipſum B, omnino ipſius BA ſimpliciter: deinde ſpecies eæ, quæ ſubſtantiarum ſunt: verùm aliorum aliæ cauſæ, ac elementa, vt dictum eſt: veruntamen eorum, quæ non in eodem genere ſunt, colorum, ſonorum, ſubſtantiarum, quantitatis, eo quòd analogon: eorum quoque, quæ in eadem ſpecie ſunt diuerſa, non ſpecie, ſed quoniam ſingularium aliud, & tua materia, & ſpecies, & quod mouit, & ſpecies, ac mea materia: vniuerſali verò ratione, eadem. Quæſtio igitur quænam principia, ſiue elementa ſubſtantiarum, ad aliquid, & qualitatum ſint, & vtrum eadem an diuerſa, patet quod cum multipliciter dicantur, vniuſcuiuſque ſunt: at ſi diuidantur, non eadem, ſed diuerſa, niſi quod aliquo modo eadem, Analogicè nanque eadem: quia materia, ſpecies, priuatio, mouens. Ac il-

A παρὰ ταῦτα, ὡς τὸ πρῶτον πάντων κινοῦν πάντα.

Κεφάλαιον ε.

Ἐπεὶ δ' ἐστὶ τὰ μὲν χωριστά, τὰ δ' οὐ χωριστά, οὐσίαι ἐκεῖνα· καὶ διὰ τοῦτο πάντων αἴτια ταῦτα, ὅτι τῶν οὐσιῶν ἄνευ, οὐκ ἔστι τὰ πάθη καὶ αἱ κινήσεις. ἔπειτα ἔσται ταῦτα ψυχὴ ἴσως καὶ σῶμα, ἢ νοῦς, καὶ ὄρεξις, καὶ σῶμα. B ἔτι δ' ἄλλον τρόπον τῷ ἀνάλογον ἀρχαὶ αἱ αὐταί· οἷον ἐνέργεια καὶ δύναμις· ἀλλὰ καὶ ταῦτα ἄλλά τε ἄλλοις, καὶ ἄλλως. ἐν ἐνίοις μὲν γὰρ τὸ αὐτό, ὁτὲ μὲν ἐνεργείᾳ ἐστίν, ὁτὲ δὲ δυνάμει· οἷον, οἶνος, ἢ σάρξ, ἢ ἄνθρωπος. πίπτει δὲ καὶ ταῦτα εἰς τὰ εἰρημένα αἴτια. ἐνεργείᾳ μὲν γὰρ τὸ εἶδος, ἐὰν ᾖ τὸ χωριστόν, καὶ τὸ ἐξ ἀμφοῖν· στέρησις δέ, οἷον σκότος ἢ κάμνον· C δυνάμει δὲ ἡ ὕλη. τοῦτο γάρ ἐστι τὸ δυνάμενον γίγνεσθαι ἄμφω. ἄλλως δὲ ἐνεργείᾳ καὶ δυνάμει διαφέρει, ὧν μὴ ἔστιν ἡ αὐτὴ ὕλη· ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος, ἀλλ' ἕτερον· ὥσπερ ἀνθρώπου αἴτιον τά τε στοιχεῖα, πῦρ καὶ γῆ, ὡς ὕλη· τὸ ἴδιον εἶδος καὶ εἴ τι ἄλλο ἔξω, οἷον ὁ πατήρ· καὶ παρὰ ταῦτα ὁ ἥλιος, καὶ ὁ λοξὸς κύκλος, οὔτε ὕλη ὄντα, οὔτ' εἶδος, οὔτε στέρησις, οὔτε ὁμοειδές, ἀλλὰ κινοῦντα. ἔτι δὲ ὁρᾶν δεῖ, ὅτι τὰ μὲν καθόλου ἐστὶν εἰπεῖν, τὰ δ' οὔ. πάντων δὲ D πρῶται ἀρχαί, τὸ ἐνεργείᾳ πρῶτον, τὸ εἴδει, καὶ ἄλλο τὸ ὃ δυνάμει. ἐκεῖνα μὲν οὖν τὰ καθόλου οὐκ ἔστιν. ἀρχὴ γὰρ τὸ καθ' ἕκαστον. ἄνθρωπος μὲν γὰρ ἀνθρώπου καθόλου, ἀλλ' οὐκ ἔστιν οὐδείς, ἀλλὰ Πηλεὺς Ἀχιλλέως· σοῦ δέ, ὁ πατήρ· καὶ τοδὶ τὸ β, τουδὶ τοῦ βα. ὅλως δὲ τὸ β, τοῦ ἁπλῶς βα. ἔπειτα εἴδη τὰ τῶν οὐσιῶν· ἄλλα δὲ ἄλλων αἴτια καὶ στοιχεῖα, E ὥσπερ ἐλέχθη, τῶν μὴ ἐν ταὐτῷ γένει, χρωμάτων, ψόφων, οὐσιῶν, ποσότητος. πλὴν τῷ ἀνάλογον, καὶ τῶν ἐν τῷ αὐτῷ εἴδει ἕτερα, οὐκ εἴδει, ἀλλ' ὅτι τῶν καθ' ἕκαστον ἄλλο, ἥ τε σὴ ὕλη καὶ τὸ εἶδος, καὶ τὸ κινῆσαν, καὶ τὸ εἶδος καὶ ἡ ἐμή· τῷ καθόλου δὲ λόγῳ ταὐτά. τὸ δὲ ζητεῖν, τίνες ἀρχαὶ καὶ στοιχεῖα τῶν οὐσιῶν, καὶ πρός τι, καὶ ποιῶν, πότερον αἱ αὐταί, ἢ ἕτεραι, δῆλον ὅτι πολλαχῶς τε λεγομένων ἐστὶν ἑκάστου, F διαιρεθέντων δὲ οὐ ταὐτά, ἀλλ' ἕτερα· πλὴν ὡδὶ καὶ πάντων· ὡδὶ δὲ ταὐτά· ἢ τῷ ἀνάλογον, ὅτι ἡ ὕλη, εἶδος, στέρησις, τὸ κινοῦν. καὶ